A καὶ ἀφ' ἧς πράττεται τὰ ἄριστα τῆς ψυχῆς ἔργα καὶ πάθη, καὶ ὑπὸ τῶν αὐτῶν πὼς μὲν γίνεται, πὼς δὲ φθείρεται. πρὸς ταῦτα ἡ χρῆσις αὐτῆς ὑφ' ὧν καὶ αὔξεται καὶ φθείρεται, πρὸς ἃ βέλτιστα διατίθησι. σημεῖον δ' ὅτι περὶ ἡδέα καὶ λυπηρὰ, καὶ ἡ ἀρετὴ καὶ ἡ κακία. αἱ γὰρ κολάσεις, ἰατρεῖαι οὖσαι, καὶ γίνονται διὰ τῶν ἐναντίων, καθάπερ ἐπὶ τῶν ἄλλων, διὰ τούτων εἰσίν.

### Κεφάλαιον β.

B Ὅτι μὲν τοίνυν ἡ ἠθικὴ ἀρετὴ περὶ ἡδέα καὶ λυπηρά ἐστι, δῆλον. ἐπεὶ δὲ ἐστὶ τὸ ἦθος ὥσπερ καὶ τὸ ὄνομα σημαίνει, ὅτι ἀπὸ ἔθους ἔχει τὴν ἐπίδοσιν, ἐθίζεται δὲ τὸ ὑπ' ἀγωγῆς μὴ ἐμφύτου τῷ πολλάκις κινεῖσθαί πως, οὕτως ἤδη τὸ ἐνεργητικόν; ὃ ἐν τοῖς ἀψύχοις οὐχ ὁρῶμεν· οὐδὲ γὰρ ἂν μυριάκις ῥίψῃς C ἄνω τὸν λίθον, οὐδέποτε ποιήσει τοῦτο μὴ βίᾳ. διὸ ἔστω ἦθος τοῦτο ψυχῆς κατὰ ἐπιτακτικὸν λόγον, δυνάμενον δ' ἀκολουθεῖν ποιότης. λεκτέον δὴ κατὰ τί τῆς ψυχῆς ποῖ' ἄττα ἤθη. ἔσται δὲ κατά τε τὰς δυνάμεις τῶν παθημάτων, καθ' ἃς ὡς παθητικοὶ λέγονται, καὶ κατὰ τὰς ἕξεις πρὸς τὰ πάθη λέγονται, ταῦτα τῷ πάσχειν πως, ἢ ἀπαθεῖς εἶναι. μετὰ ταῦτα ἡ διαίρεσις ἐν τοῖς ἀ- D πειλεγμένοις τῶν παθημάτων, καὶ τῶν δυνάμεων καὶ τῶν ἕξεων. λέγω δὲ πάθη μὲν τὰ τοιαῦτα, θυμὸν, φόβον, αἰδῶ, ἐπιθυμίαν, ὅλως οἷς ἕπεται, ὡς ἐπὶ τὸ πολὺ, ἡ αἰσθητικὴ ἡδονὴ ἢ λύπη καθ' αὑτά. καὶ κατὰ μὲν ταῦτα οὐκ ἔστι ποιότης. ἀλλὰ πάσχει· κατὰ δὲ τὰς δυνάμεις, ποιότης. λέγω δὲ τὰς δυνάμεις καθ' ἃς λέγονται κατὰ τὰ πάθη οἱ ἐνεργοῦντες· οἷον ὀργίλος, ἀνάλγητος, ἐρωτικὸς, αἰσχυντηλὸς, ἀναίσχυντος. E ἕξεις δέ εἰσιν, ὅσαι αἴτιαί εἰσι τοῦ ταῦτα ἢ κατὰ λόγον ὑπάρχειν, ἢ ἐναντίως· οἷον ἀνδρία, σωφροσύνη, δειλία, ἀκολασία.

### Κεφάλαιον γ.

Διωρισμένων δὲ τούτων, ληπτέον ὅτι ἐν ἅπαντι συνεχεῖ καὶ διαιρετῷ ἐστιν ὑπεροχὴ καὶ ἔλλειψις καὶ μέσον· καὶ ταῦτα ἢ πρὸς ἄλληλα, ἢ πρὸς ἡμᾶς· οἷον ἐν γυμναστι- F κῇ, ἐν ἰατρικῇ, ἐν οἰκοδομικῇ, ἐν κυβερνητικῇ, καὶ ἐν ὁποιᾳοῦν πράξει, καὶ ἐπιστημονικῇ καὶ ἀνεπιστημονικῇ, καὶ τεχνικῇ καὶ ἀτέχνῳ. ἡ μὲν γὰρ κίνησις, συνεχές· ἡ δὲ πρᾶξις, κίνησις. ἐν πᾶσι δὲ τὸ μέσον τὸ πρὸς ἡμᾶς βέλτιστον, ἐπιστήμη κελεύει καὶ ὁ λόγος. πανταχοῦ δὲ τοῦτο καὶ ποιεῖ τὴν βελτίστην ἕξιν. καὶ τοῦτο δῆλον διὰ τῆς ἐπαγωγῆς,

A & vnde animæ affectiones, operáque præstantissima proueniunt, ab iisdem aliquo modo & fit, & læditur: ad ea verò vsus ipsius, à quibus augetur, & labefactatur, circa quæ & rectissimè vitam disponit. Cæterùm circa iucunda, tristiáque virtutem versari, argumento sunt punitiones, quæ vt medicationis vice per contraria vsurpantur in aliis, ita per hæc quoque fiunt.

### CAPVT II.

B Patet igitur, virtutem moralem circa iucunda tristiáque versari. Quoniam verò ἦθος, id est, mos, vt nomẽ indicat, ἀπὸ τοῦ ἔθους, à consuetudine incremẽtum capit, (assuescit enim operatrix facultas exercitatione non naturali, vt hoc, vel illo pacto moueatur, etsi inanimatis id non contingat: nemo enim lapidem, quamlibet crebro sursum iactum, itidem facere, nisi vi extrinsecus adhibita, vidit) rectè C morem animæ iuxta imperãtem rationem vocari, ac potentia qualitatem sequi diximus. Neque verò prætereundum est, iuxta quas animæ affectiones quales quidã mores dicãtur: iuxta potẽtias verò passionũ, à quibus passiui, iuxtáq. habitus modũ erga affectus, dicuntur mores vel affecti aliquo modo, vel passionib. minimè obnoxij. Cæterùm diuisio cõstituatur deinceps ex affe D ctuũ, potentiarũmq. & habituũ animę enumeratione. Voco autem affectus iram, metum, verecundiam, cupiditatem, & in vniuersum, quę per se voluptas, tristitiáve sensitiua sequitur: & secundum hæc quidem qualitas nulla formatur, sed afficiuntur homines iuxta potentias. Voco autem potentias, quibus fit, vt commotè aliquid agere dicamur, vt iracundus, stupidus, amoribus deditus, verecundus, impudens. Habitus verò sunt, quibus efficitur, vt hæc se- E cundum rationem nobis insint, aut contrarium: vt fortitudo, modestia, timor, intemperantia.

### CAPVT III.

Qvibus ita determinatis, constituendum in omni continuo, diuisibilíque excessum, defectum, mediúmque reperiri, atque hæc vel mutuò ad se inuicem, vel nostri respectu: vt gymnastica, medicina, ædificatoria, gubernatoria, & quæcunque actiones aliæ, siue iuxta scientiam institu- F tæ, siue sciẽtiæ expertes, aut artificiosę, siue inartificiosę: motus enim cõtinuũ quippiã est, actio verò motus. In omnib. verò sciẽtia, & ratio, mediũ nostri respectu, & quid optimũ sit præcipit, ídq. passim habitũ gignit præstantissimũ, quod etiã inductione,

τοῖς ἀψύχοις